A

## ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων ιδʹ. Χορός.

Bisetus. Ὁ Χορὸς μεγίστης χαρᾶς ἐμπλήρης, καὶ ἀγαλλόμενος καυχᾶται εὐχάς, καὶ θυσίας αὐτῷ ὑπ' ἀνθρώπων ποιεῖσθαι ὡς τῆς γῆς καρπῶν σωτῆρι.

Χο. Ἤδη μοι τῷ παντόπτᾳ
Καὶ παντάρχᾳ θνητοὶ πάντες
Θύσουσ' εὐκταίαις εὐχαῖσι. B
Πᾶσαν μὲν γὰρ γᾶν ὀπτεύω.
Σώζω δ' εὐθαλλεῖς καρπούς,
Κτείνων παμφύλων γένναν
Θηρῶν. οἳ πάντ' ἐν γαίᾳ
Ἐκ κάλυκος αὐξανόμενα γένυσι πολυφάγοις,
Δένδρεσί τ' ἐφεζόμενα καρπὸν ἀποβόσκεται.
Κτείνω δ' οἳ κήπους εὐώδεις
Φθείρουσι λύμαις ἐχθίσταις. C
Ἑρπετά τε καὶ δάκεθ' ὁπόσαπερ ἂν
Ἔστιν, ὑπ' ἐμᾶς πτέρυγος
Ἐν φοναῖς ὄλλυται.

## Cantus et versio membrorum quatuordecim Chorus.

CHO. Iam mihi omnia videnti,
*Et omnibus imperāti, mortales omnes*
*Sacrificabunt optatis precibus:*
*Omnem quidem enim terram video.*
*Saluo autem pullulantes fructus,*
*Interficiens omnium tribuum generationem*
*Ferarum, quæ omnia in terra*
*Ex germine aucta gulis deuorantibus,*
*Arboribúsque insidentes fructum deuorant.*
*Interficio autem quæ hortos odoriferos*
*Corrumpunt nocumentis pessimis.*
*Serptiliáque & mordacia quæcunque*
*Sunt à mea ala,*
*In cædis pereunt.*

Σχόλια. Ἤδη μοι τῷ παντόπτᾳ] εἰώθασι μετὰ τὴν τελείαν παράβασιν, ἐπιρρηματικὴν ποιεῖσθαι συζυγίαν, ὥσπερ καὶ ἐν Ἱππεῦσι πεποίηκεν. ἄλλως. δευτέρα παράβασις ὡς ἐν Ἱππεῦσιν. ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔχει πάντα τὰ μέρη, ἀλλὰ μόνα τέσσαρα. τὴν ᾠδὴν καὶ στροφήν. καὶ ἐπίρρημα. τὴν ἀντῳδὴν καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ ᾠδὴ καὶ στροφὴ κώλων καὶ στίχων δακτυλικῶν καὶ παιωνικῶν ιδʹ. ὧν τὰ αʹ ἕως ζʹ. δακτυλικὰ ἐφθημιμερῆ. τὰ βʹ γʹ δʹ ιαʹ τετράμετρα, τὰ δ' ἄλλα παιωνικὰ τετράμετρα καὶ ἀκατάληκτα, τὰ ηʹ θʹ. τὸ δὲ ιβʹ. τρίμετρον. τὸ δὲ ιγʹ δίμετρον. τὸ δὲ ιδʹ ἐφθημιμερὲς ἐκ κρητικῶν. ὑφ' ὃ παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα. Κτείνων παμφύλων] καὶ θηρείοις γὰρ πολέμιοι ὄρνιθες ὡς λαγωοῖς ἀετός. Ἑρπετὰ καὶ δάκετα.] καὶ τὰ ἄλλα δάκετα ὥσπερ εἰ τύχοι ὁ σκορπιός. δάκετα δὲ θηρία ἰοβόλα. D

## ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ ιςʹ.

Χο. Τήνδε μέντοι θ' ἡμέρᾳ μάλιστ' ἐπαναγορεύεται.
Ἢν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον, E
Λαμβάνειν τάλαντον. ἤν τε τῶν τυράννων τίς τινα
Τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάνειν.
Βουλόμεθ' οὖν νῦν ἀνειπεῖν ταῦτα χ' ἡμεῖς ἐνθάδε.
Ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον,
Λήψεται τάλαντον. ἢν δὲ ζῶντ' ἀγάγῃ, τέτταρα.
Ὅτι συνείρων τοὺς σπίνους, πωλεῖ καθ' ἑπτὰ τοὐβολοῦ.
Εἶτα φυσῶν, τὰς κίχλας δείκνυσι καὶ λυμαίνεται. F
Τοῖς τε κοψίχοισιν εἰς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά.
Τὰς περιστεράς θ' ὁμοίως ξυλλαβὼν, εἵρξας ἔχει,

## Adverbium versuum sexdecim.

CHO. Hac quidem die maxime gaudet,
*Si interficiat aliquis vestrûm Diagoram Melium,*
*Accipere talentum. si autem tyrannorum aliquis aliquem*
*Mortuorum interficiat, talentum accipere.*
*Volumus igitur nunc clamare hæc & nos hic.*
*Si interficiat aliquis vestrûm Philocratem passerinum,*
*Accipiet talētū. si autem viuum ducat, quatuor:*
*Quòd congregans passeres, vendit per septem obolo,*
*Postea inflans turdos ostendunt & lædunt,*
*Hísque copsichis in nares infundit pennas.*
*Colūbásque similiter colligens impediēs habet,*

Σχόλ. Διαγόραν τὸν Μήλιον.] οὗτος μετὰ τὴν ἅλωσιν Μήλου, ἐν Ἀθήναις ᾤκει. τὰ δὲ μυστήρια ηὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι, καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθης ἐν τῷ περὶ μυστηρίων. εἰς τὸ αὐτό. ταῦτα ἐκ τοῦ ψηφίσματος εἴληφεν. οὕτω γὰρ ἐκήρυξαν. τὸν μὲν ἀποκτείναντα αὐτὸν τάλαντον λαμβάνειν. τὸν δὲ ἀγαγόντα, δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἔπειτα μυστήρια πᾶσι διηγεῖτο κοινοποιῶν αὐτά, καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων καθάπερ Κρατερὸς ἱστορεῖ. οὐκ ἐκεκήρυκτο δὲ μάλιστα ὑπὸ G τὴν ἅλωσιν τῆς Μήλου. οὐδὲν γὰρ κωλύει πρότερον. Μένανδρος δὲ ἐν τῷ περὶ μυστηρίων προφέρεται τῆς χαλκῆς στήλης ἀντίγραφον. ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐτὸν καὶ τοὺς ἐκδιδόντας Πελλανεῖς. γέγραπται καὶ ταῦτα. ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον. ἐὰν δέ τις ἀγάγῃ λαβεῖν δύο. Ἤν τε τῶν τυράννων τίς] τινές, τινά. ὡσεὶ ἔλεγέ τινα τῶν ἀνηκόντων αὐτῶν ὃς ἐὰν φονεύσῃ. Τῶν τεθνηκότων.] τῶν ἐπὶ θανάτῳ φευγόντων. ἐν δὲ τοῖς ὑπομνήμασιν, οὕτω γέγραπται. ἐν ὑπερβολῇ καὶ τοὺς τεθνηκότας